Ορ. ἔα τὰ μητρός· οὐδὲ cοὶ κλύειν καλόν.
Ιφ. cιγῶ· τὸ δ᾽ Ἄργος πρὸς cὲ νῦν ἀποβλέπει;
Ορ. Μενέλαος ἄρχει· φυγάδες ἐcμὲν ἐκ πάτρας.
Ιφ. οὔ που νοcοῦντας θεῖος ὕβριcεν δόμους;
Ορ. οὔκ, ἀλλ᾽ Ἐρινύων δεῖμά μ᾽ ἐκβάλλει χθονός.
Ιφ. ἔγνωκα· μητρός ⟨c᾽⟩ οὕνεκ᾽ ἠλάcτρουν θεαί.
Ορ. ὥcθ᾽ αἱματηρὰ cτόμι᾽ ἐπεμβαλεῖν ἐμοί.
Ιφ. ταῦτ᾽ ἆρ᾽ ἐπ᾽ ἀκταῖc κἀνθάδ᾽ ἠγγέλθηc μανείc.
Ορ. ὤφθημεν οὐ νῦν πρῶτον ὄντες ἄθλιοι.
Ιφ. τί γάρ ποτ᾽ ἐc γῆν τήνδ᾽ ἐπόρθμευcας πόδα;
Ορ. Φοίβου κελευcθεὶc θεcφάτοιc ἀφικόμην.
Ιφ. τί χρῆμα δρᾶcαι; ῥητὸν ἢ cιγώμενον;
Ορ. λέγοιμ᾽ ἄν. ἀρχαὶ δ᾽ αἵδε μοι πολλῶν πόνων·
ἐπεὶ τὰ μητρὸc ταῦθ᾽ ἃ cιγῶμεν κακὰ
ἐc χεῖραc ἦλθε, μεταδρομαῖc Ἐρινύων
ἠλαυνόμεcθα φυγάδεc, †ἔνθεν μοι πόδα
ἐc τὰc Ἀθήναc δή γ᾽† ἔπεμψε Λοξίαc,
δίκην παραcχεῖν ταῖc ἀνωνύμοιc θεαῖc.
ἔcτιν γὰρ ὁcία ψῆφοc, ἣν Ἄρει ποτὲ
Ζεὺc εἵcατ᾽ ἔκ του δὴ χερῶν μιάcματοc.
ἐλθὼν δ᾽ ἐκεῖcε πρῶτα μέν ⟨μ᾽⟩ οὐδεὶc ξένων
ἑκὼν ἐδέξαθ᾽ ὡc θεοῖc cτυγούμενον·
οἳ δ᾽ ἔcχον αἰδῶ, ξένια μονοτράπεζά μοι
παρέcχον, οἴκων ὄντεc ἐν ταὐτῶι cτέγει,
cιγῆι δ᾽ ἐτεκτήναντ᾽ ἀπρόcφθεγκτόν μ᾽, ὅπωc